# «ЄΠΙΜЄΤΡΟΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ» ЄΙϹ ΤΟΝ ΟϹΙΟΝ ῬΩΜΑΝΟΝ ΤΟΝ ΜЄΛΩΔΟΝ, ΤΟΝ ΠΟΙΗΤΗΝ ΤΩΝ ΚΟΝΤΑΚΙΩΝ

Ποίημα
Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

Ἀδιαλείπτοις προσευχαῖς ἐν τῷ Ναῷ σχολάζων,
Βυθὸν ἐπέγνως Ῥωμανὲ τῆς τοῦ Θεοῦ σοφίας.
Γνώσεως ὅθεν ἀληθοῦς ἐγένου ἐκμαγεῖον,
Δεκάδα θείων ἐντολῶν τηρῶν ἀπεριτρέπτως.
Ἐλάτρευσας τὸν ἀληθῆ Θεὸν τὸν ἐν Τριάδι,
Ζωήν σοι αἰωνίζουσαν βραβεύοντα ἀξίως.
Ἡ Γλῶσσα σου ὡς κάλαμος ὑπῆρξε ὀξυγράφου,
Θεολογοῦσα τὰ φρικτὰ καὶ θεῖα μεγαλεῖα.
Ἰδεῖν κατ' ὄναρ τὴν Ἁγνὴν ἠξίωσαι Παρθένον,
Κρατοῦσαν χάρτον ἐν χερσὶ καλῶς τετυλιγμένον.
Λαβὼν οὖν τοῦτον καὶ φαγὼν καθὼς προσέταξέ σοι,
Μέλεσιν ἤρχισας αὐτὴν ψάλλειν θεοτερπέσιν.
Νάβλα τοῦ Πνεύματος τερπνὴ γέγονας θεοφάντορ,
Ξένα μυστήρια ὑμνῶν σαρκώσεως τοῦ Λόγου.
Οὐράνιον πολίτευμα ἐν γῇ διῆγες Πάτερ,
Περουσίαν πίστεως ὡς θησαυρὸν κατέχων.
Ῥήτορας ὑπερέβαλες τῷ κάλλει τῆς σοφίας,
Σοῖς ὕμνοις δὲ ἐστόλισας Χριστοῦ τὴν Ἐκκλησίαν.
Ταῖς χρόαις μελιῤῥύτων σου καὶ θείων Κοντακίων,

Ὕφανας θεοκόσμητον στολὴν τῆς ἀφθαρσίας.
Φαιδρύνας ἱερώτατα Σιὼν τὴν ἄνω πόλιν,
Χαρᾶς ἀξίωσον φαιδρᾶς τοὺς σὲ ὑμνολογοῦντας.
Ψαλμοῖς ἀξίωσον ἡμᾶς Θεὸν τοῦ θεραπεύειν,
Ὡς ψαλμῳδὸς πανάριστος ὦ Ῥωμανὲ θεόπνους.

## «ΕΠΙΜΕΤΡΟΝ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΑΝΤΙΣΤΡΟΦΟΝ» ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ῬΩΜΑΝΟΝ ΤΟΝ ΠΟΙΗΤΗΝ ΤΩΝ ΚΟΝΤΑΚΙΩΝ

Ποίημα
Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

Ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν γηγενῶν ἀνύμνεις,
Ψαλμοῖς καλλίστοις Ῥωμανὲ καὶ θείαις μελῳδίαις.
Χάριν μεγίστην ἔλαβες ἐκ τῆς πανάγνου Κόρης,
Φωνῇ σου μάκαρ λιγυρᾷ Ταύτης ὑμνεῖν τὸν τόκον.
Ὑψηγορίᾳ χρώμενος ᾠδῶν τῶν γλυκυτάτων,
Τέρπεις ψυχὰς θεοφιλῶν ὡς μελουργὸς κιθάρα.

Σχολάζων ἐν σκηνώμασι Θεοῦ πανσέπτοις Πάτερ,
Ῥάδαμνος ὤφθης ἱερὰ ἐνθέου φυτουργίας.
Παρθένος ἡ πανάσπιλος καὶ Θεοτόκος Κόρη,
Ὀνείρατι παρέστη σοι τόμον κρατοῦσα χάρτου.
Ξυπνίσας τὸν ἀπόῤῥητον Ταύτης ἀνύμνεις τόκον,
Νέον βρέφος γενόμενον Θεὸν τὸν πρὸ αἰώνων.
Μελίῤῥυτος οὖν ποταμὸς γενόμενος ἐντεῦθεν,
Λειμῶνα θεῖον τῆς Ἐδὲμ κατήρδευσας πλουσίως.
Καρδίαν σου ἀνέθηκας ὡς προσφορὰν Κυρίῳ,
Ἱερωτέραν Ἱεροῦ Βήματος ταύτην δείξας.
Θυσίας τοίνυν λογικὰς αἰνέσεως προσάξας,
Ἡμέρας γέγονας υἱός, φωτός τε κληρονόμος.
Ζεφύρειος ὡς αὔρα σοι τοῦ Πνεύματος ἡ Χάρις,
Ἔπνευσε ἔνδον δαψιλῶς, ὡς πάλαι τῷ Θεσβίτῃ.
Δρόσῳ ἐνθέῳ τῶν πιστῶν εὐφραίνεις τὰς καρδίας,
Γραφαῖς τε ἡδυπνόοις σου πάντας κινεῖς πρὸς ὕμνον.
Βασιλικὰς οἰκῶν σκηνὰς σὺν τοῖς χοροῖς Ἀγγέλων,
Ἀπαύστως Ῥωμανὲ ποιοῦ τῷ Βασιλεῖ πρεσβείαν.